καρπωμάτων καὶ πάντα αὐτοῦ τὰ σκεύη καὶ ἁγιάσεις τὸ θυσια-
στήριον, καὶ ἔσται τὸ θυσιαστήριον ἅγιον τῶν ἁγίων. [12]καὶ προσ- 12
άξεις Ααρων καὶ τοὺς υἱοὺς αὐτοῦ ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ
μαρτυρίου καὶ λούσεις αὐτοὺς ὕδατι [13]καὶ ἐνδύσεις Ααρων τὰς 13
στολὰς τὰς ἁγίας καὶ χρίσεις αὐτὸν καὶ ἁγιάσεις αὐτόν, καὶ ἱερα-
τεύσει μοι· [14]καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις καὶ ἐνδύσεις αὐτοὺς 14
χιτῶνας [15]καὶ ἀλείψεις αὐτούς, ὃν τρόπον ἤλειψας τὸν πατέρα αὐ- 15
τῶν, καὶ ἱερατεύσουσίν μοι· καὶ ἔσται ὥστε εἶναι αὐτοῖς χρῖσμα
ἱερατείας εἰς τὸν αἰῶνα εἰς τὰς γενεὰς αὐτῶν. [16]καὶ ἐποίησεν 16
Μωυσῆς πάντα, ὅσα ἐνετείλατο αὐτῷ κύριος, οὕτως ἐποίησεν.
[17]Καὶ ἐγένετο ἐν τῷ μηνὶ τῷ πρώτῳ τῷ δευτέρῳ ἔτει ἐκπορευο- 17
μένων αὐτῶν ἐξ Αἰγύπτου νουμηνίᾳ ἐστάθη ἡ σκηνή· [18]καὶ ἔστη- 18
σεν Μωυσῆς τὴν σκηνὴν καὶ ἐπέθηκεν τὰς κεφαλίδας καὶ διενέ-
βαλεν τοὺς μοχλοὺς καὶ ἔστησεν τοὺς στύλους [19]καὶ ἐξέτεινεν τὰς 19
αὐλαίας ἐπὶ τὴν σκηνὴν καὶ ἐπέθηκεν τὸ κατακάλυμμα τῆς σκηνῆς
ἐπ᾽ αὐτῆς ἄνωθεν, καθὰ συνέταξεν κύριος τῷ Μωυσῇ. — [20]καὶ 20
λαβὼν τὰ μαρτύρια ἐνέβαλεν εἰς τὴν κιβωτὸν καὶ ὑπέθηκεν τοὺς
διωστῆρας ὑπὸ τὴν κιβωτὸν [21]καὶ εἰσήνεγκεν τὴν κιβωτὸν εἰς τὴν 21
σκηνὴν καὶ ἐπέθηκεν τὸ κατακάλυμμα τοῦ καταπετάσματος καὶ
ἐσκέπασεν τὴν κιβωτὸν τοῦ μαρτυρίου, ὃν τρόπον συνέταξεν κύ-
ριος τῷ Μωυσῇ. — [22]καὶ ἔθηκεν τὴν τράπεζαν εἰς τὴν σκηνὴν 22
τοῦ μαρτυρίου ἐπὶ τὸ κλίτος τῆς σκηνῆς τοῦ μαρτυρίου τὸ πρὸς
βορρᾶν ἔξωθεν τοῦ καταπετάσματος τῆς σκηνῆς [23]καὶ προέθηκεν 23
ἐπ᾽ αὐτῆς ἄρτους τῆς προθέσεως ἔναντι κυρίου, ὃν τρόπον συνέ-
ταξεν κύριος τῷ Μωυσῇ. — [24]καὶ ἔθηκεν τὴν λυχνίαν εἰς τὴν 24
σκηνὴν τοῦ μαρτυρίου εἰς τὸ κλίτος τῆς σκηνῆς τὸ πρὸς νότον
[25]καὶ ἐπέθηκεν τοὺς λύχνους αὐτῆς ἔναντι κυρίου, ὃν τρόπον συνέ- 25
ταξεν κύριος τῷ Μωυσῇ. — [26]καὶ ἔθηκεν τὸ θυσιαστήριον τὸ 26
χρυσοῦν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἀπέναντι τοῦ καταπετά-
σματος [27]καὶ ἐθυμίασεν ἐπ᾽ αὐτοῦ τὸ θυμίαμα τῆς συνθέσεως, καθ- 27
άπερ συνέταξεν κύριος τῷ Μωυσῇ. — [29]καὶ τὸ θυσιαστήριον τῶν 29
καρπωμάτων ἔθηκεν παρὰ τὰς θύρας τῆς σκηνῆς [33]καὶ ἔστησεν 33
τὴν αὐλὴν κύκλῳ τῆς σκηνῆς καὶ τοῦ θυσιαστηρίου. καὶ συνετέ-
λεσεν Μωυσῆς πάντα τὰ ἔργα.
[34]Καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ δόξης 34
κυρίου ἐπλήσθη ἡ σκηνή· [35]καὶ οὐκ ἠδυνάσθη Μωυσῆς εἰσελθεῖν 35

10 το θυσιαστ. ult. > B*† || 13 και ιερατευσει] ιερατευει B*† || 16 ενετειλατο] συνεταξεν A | αυτω > A† || 17 τω 3⁰ > A || 18 κεφαλιδας et στυλους] + αυτης A || 19 αυτης] -την A || 20 την κιβ. 1⁰] αυτην A† | επεθηκεν A || 22 εθηκεν] pr. επ B | το 2⁰ > A || 23 προσεθηκεν A | εναντιον A: item in 25 || 27 εθυσιασεν B*† | το > A | καθαπερ] ον τροπον A || 29 σκηνης] + του μαρτυριου A^r || 35 ηδυνηθη A